4 χρῆσαι καθὸ ἂν ἀρέσκῃ σοι· [4]ἰδοὺ καὶ αἱ πόλεις ἡμῶν καὶ οἱ κατοι-
κοῦντες ἐν αὐταῖς δοῦλοί σοί εἰσιν, ἐλθὼν ἀπάντησον αὐταῖς ὡς
5 ἔστιν ἀγαθὸν ἐν ὀφθαλμοῖς σου. [5]καὶ παρεγένοντο οἱ ἄνδρες πρὸς
6 Ολοφέρνην καὶ ἀπήγγειλαν αὐτῷ κατὰ τὰ ῥήματα ταῦτα. [6]καὶ κατ-
έβη ἐπὶ τὴν παραλίαν αὐτὸς καὶ ἡ δύναμις αὐτοῦ καὶ ἐφρούρωσε
τὰς πόλεις τὰς ὑψηλὰς καὶ ἔλαβεν ἐξ αὐτῶν εἰς συμμαχίαν ἄνδρας
7 ἐπιλέκτους· [7]καὶ ἐδέξαντο αὐτὸν αὐτοὶ καὶ πᾶσα ἡ περίχωρος αὐ-
8 τῶν μετὰ στεφάνων καὶ χορῶν καὶ τυμπάνων. [8]καὶ κατέσκαψεν
πάντα τὰ ὅρια αὐτῶν καὶ τὰ ἄλση αὐτῶν ἐξέκοψεν, καὶ ἦν δεδο-
μένον αὐτῷ ἐξολεθρεῦσαι πάντας τοὺς θεοὺς τῆς γῆς, ὅπως αὐτῷ
μόνῳ τῷ Ναβουχοδονοσορ λατρεύσωσι πάντα τὰ ἔθνη, καὶ πᾶσαι
9 αἱ γλῶσσαι καὶ αἱ φυλαὶ αὐτῶν ἐπικαλέσωνται αὐτὸν εἰς θεόν. [9]καὶ
ἦλθεν κατὰ πρόσωπον Εσδρηλων πλησίον τῆς Δωταιας, ἥ ἐστιν
10 ἀπέναντι τοῦ πρίονος τοῦ μεγάλου τῆς Ιουδαίας, [10]καὶ κατεστρα-
τοπέδευσαν ἀνὰ μέσον Γαιβαι καὶ Σκυθῶν πόλεως, καὶ ἦν ἐκεῖ μῆνα
ἡμερῶν εἰς τὸ συλλέξαι πᾶσαν τὴν ἀπαρτίαν τῆς δυνάμεως αὐτοῦ.
4 [1]Καὶ ἤκουσαν οἱ υἱοὶ Ισραηλ οἱ κατοικοῦντες ἐν τῇ Ιουδαίᾳ πάν-
τα, ὅσα ἐποίησεν Ολοφέρνης τοῖς ἔθνεσιν ὁ ἀρχιστράτηγος Ναβου-
χοδονοσορ βασιλέως Ἀσσυρίων, καὶ ὃν τρόπον ἐσκύλευσεν πάντα
2 τὰ ἱερὰ αὐτῶν καὶ ἔδωκεν αὐτὰ εἰς ἀφανισμόν, [2]καὶ ἐφοβήθησαν
σφόδρα σφόδρα ἀπὸ προσώπου αὐτοῦ καὶ περὶ Ιερουσαλημ καὶ
3 τοῦ ναοῦ κυρίου θεοῦ αὐτῶν ἐταράχθησαν. [3]ὅτι προσφάτως ἦσαν
ἀναβεβηκότες ἐκ τῆς αἰχμαλωσίας, καὶ νεωστὶ πᾶς ὁ λαὸς συν-
ελέλεκτο τῆς Ιουδαίας, καὶ τὰ σκεύη καὶ τὸ θυσιαστήριον καὶ ὁ οἶκος
4 ἐκ τῆς βεβηλώσεως ἡγιασμένα ἦν. [4]καὶ ἀπέστειλαν εἰς πᾶν ὅριον
Σαμαρείας καὶ Κωνα καὶ Βαιθωρων καὶ Βελμαιν καὶ Ιεριχω καὶ εἰς
5 Χωβα καὶ Αισωρα καὶ τὸν αὐλῶνα Σαλημ [5]καὶ προκατελάβοντο πά-
σας τὰς κορυφὰς τῶν ὀρέων τῶν ὑψηλῶν καὶ ἐτείχισαν τὰς ἐν
αὐτοῖς κώμας καὶ παρέθεντο εἰς ἐπισιτισμὸν εἰς παρασκευὴν πο-
6 λέμου, ὅτι προσφάτως ἦν τὰ πεδία αὐτῶν τεθερισμένα. [6]καὶ ἔγρα-
ψεν Ιωακιμ ὁ ἱερεὺς ὁ μέγας, ὃς ἦν ἐν ταῖς ἡμέραις ἐν Ιερουσα-

3 χρησαι] + ημιν 58 S$^{c}$† | αν αρεσκη] αρεσκει *SL* || 4 ιδου και] tr. 58†, και > *SL*† | σοι] σου SA || 5 ανδρες] + της πολεως S† || 6 παραλιαν] επαρχιαν A† | εφρουρησεν SA | ελαβον B† || 8 και $3^{0}$] οτι S 58† | παντας τους θεους] τους φορους S† | μονω > S† | λατρευσωσι(ν)] σ $1^{0}$ > B†, σ $1^{0} \frown 2^{0}$ A† | γλωσσαι ... φυλαι] tr. S† | αι ult.] pr. πασαι B† || 9 εσδρηλων AS$^{c}$ (cf. 1 8)] εσδηρλ. S*†, εσδραηλ. B | δωτεας A | ..αιας $1^{0} \frown 2^{0}$ S*† || 10 γαιβαι] -βαν S, ταιβαν A† | απαρτιαν] στρατιαν S†

4 1 τοις εθν. > S*† | ο > S | παντα ult. > S† | ιερα] ορια A || 2 σφοδρα $2^{0}$ > SA | θεου] pr. του S || 4 κωνα] κωλα S*†, κεῖλα *L*†, κωνας AS$^{c}$ | βεθωρω A | βελμαιν] αβελμα(ε)ιν *SL*(†): cf. 7 3 8 3 15 4 | χαβα S† | αισωρα] αρασουσια S*† || 5 ετ(ε)ιχισαν] -σαντο B || 6 εγραψεν] ηκουσεν S*† | ος ην et εν $2^{0}$ > S*†